ΑΠΟΔΗΜΙΑ

ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ.

ΠΑΥΛΟΣ ὁ ἀπόστολος ἀπὸ Δαμασκοῦ ἤρξατο, καὶ ἀνῆλθεν εἰς Ἱερουσαλὴμ, ἐκεῖθεν εἰς Ταρσὸν, κἀκεῖθεν εἰς Ἀντιόχειαν· καὶ πάλιν δεύτερον εἰς Ἱερουσαλὴμ, καὶ πάλιν δεύτερον εἰς Ἀντιόχειαν. κἀκεῖθεν ἀφορισθεὶς μετὰ Βαρνάβα εἰς τὴν ἀποστολὴν, κατῆλθεν εἰς Σελεύκειαν, εἶτα εἰς Κύπρον, ἔνθα καὶ Παῦλος ἤρξατο καλεῖσθαι. εἶτα εἰς Πέργην, εἶτα εἰς Ἀντιόχειαν τῆς Πισιδίας, εἶτα εἰς Ἰκόνιον, εἶτα εἰς Λύστραν καὶ Δέρβην τῆς Λυκαονίας, εἶτα εἰς Παμφυλίαν, εἶτα πάλιν εἰς Πέργην, εἶτα εἰς Ἀττάλειαν· εἶτα πάλιν τρίτον εἰς Ἀντιόχειαν τῆς Συρίας, εἶτα πάλιν τρίτον εἰς Ἱερουσαλὴμ, διὰ τὴν περιτομήν· εἶτα πάλιν τέταρτον εἰς Ἀντιόχειαν. εἶτα διῆλθε τὴν Συρίαν καὶ τὴν Κιλικίαν. εἶτα πάλιν δεύτερον εἰς Δέρβην καὶ Λύστραν, ἔνθα τὴν Τιμόθεον περιέτεμεν. εἶτα εἰς τὴν Φρυγίαν καὶ Γαλατικὴν χώραν· εἶτα εἰς Μυσίαν, εἶτα εἰς Τρωάδα. κἀκεῖθεν εἰς Σαμοθρᾴκην, κἀκεῖθεν εἰς Νεάπολιν, εἶτα εἰς Φιλίππους τῆς Μακεδονίας. εἶτα διελθὼν τὴν Ἀμφίπολιν καὶ τὴν Ἀπολλωνίαν, ἦλθεν εἰς Θεσσαλονίκην, εἶτα εἰς Βέροιαν, εἶτα εἰς Ἀθήνας, εἶτα εἰς Κόρινθον, εἶτα εἰς Ἔφεσον, εἶτα εἰς Καισάρειαν, εἶτα δεύτερον εἰς Ἀντιόχειαν τῆς Πισιδίας, εἶτα εἰς τὴν Γαλατικὴν χώραν καὶ Φρυγίαν, εἶτα πάλιν δεύτερον εἰς Ἔφεσον. εἶτα διελθὼν τὴν Μακεδονίαν, ἦλθεν εἰς Ἑλλάδα. κἀκεῖθεν διελθὼν τὴν Μακεδονίαν, ἦλθε πάλιν δεύτερον εἰς Φιλίππους, καὶ ἀπὸ Φιλίππων πάλιν εἰς Τρωάδα, ἔνθα καὶ τὴν Εὔτυχον ἤγειρε πεσόντα. εἶτα εἰς τὴν Ἄσσον, εἶτα εἰς Μιτυλήνην, εἶτα εἰς τὰ ἀντικρὺ Χίου, εἶτα εἰς Σάμον, κἀκεῖθεν εἰς Μίλητον. ἐκεῖθεν μεταπεμψάμενος τοὺς ἐν Ἐφέσῳ, ὡμίλησεν αὐτοῖς. εἶτα εἰς Κῶν, εἶτα εἰς Ῥόδον, κἀκεῖθεν εἰς Πάταρα, κἀκεῖθεν εἰς Τύρον, εἶτα εἰς Πτολεμαΐδα, κἀκεῖθεν εἰς Καισάρειαν, κἀκεῖθεν πάλιν τέταρτον ἀνῆλθεν εἰς Ἱερουσαλήμ. κἀκεῖθεν παρεπέμφθη εἰς Καισάρειαν, καὶ λοιπὸν δέσμιος ἐπὶ Ῥώμην. οὕτως ἀπὸ Καισαρείας ἦλθεν εἰς Σιδῶνα, κἀκεῖθεν εἰς Μύρα τῆς Λυκίας, εἶτα εἰς Κνίδον. κἀκεῖθεν πολλὰ παθὼν ἦλθεν εἰς τὴν νῆσον, ἔνθα ἡ ἔχιδνα καθήψατο τῆς χειρὸς αὐτοῦ, καὶ ἔμεινεν ἀβλαβής. εἶτα εἰς Συρακούσας, εἶτα εἰς Ῥηγίον τῆς Καλαβρίας, εἶτα εἰς Ποτιόλους, κἀκεῖθεν πεζὸς ἀνῆλθεν εἰς Ῥώμην, ἀπαντησάντων αὐτῷ τῶν ἀδελφῶν εἰς Ἀππίου φόρον καὶ Τρεῖς ταβέρνας. καὶ λοιπὸν εἰσελθὼν εἰς Ῥώμην, καὶ διδάξας χρόνον ἱκανὸν, ὕστερον ἐν αὐτῇ τῇ Ῥώμῃ ἐμαρτύρησεν, [* αὐτόθι τὴν καλὸν ἀγῶνα ἀγωνισάμενος. Ῥωμαῖοι δὲ περικάλλεσιν οἴκοις καὶ βασιλείοις τὰ λείψανα τούτου καθείρξαντες, ἐπέτειον αὐτῷ μνήμης ἡμέραν πανηγυρίζουσι τῇ πρὸ τριῶν Καλανδῶν Ἰουλίων, ἕκτῳ τῶν ὅλων μηνὶ, τύτου τὸ μαρτύριον ἑορτάζοντες.]

ΕΥΘΑΛΙΟΥ ΔΙΑΚΟΝΟΥ

Περὶ τῶν χρόνων τοῦ κηρύγματος τοῦ ἁγίου Παύλου, καὶ περὶ τῆς διὰ μαρτυρίου αὐτοῦ τελειώσεως.

ΑΝΑΓΚΑΙΟΝ ἡγησάμην ἐν βραχεῖ καὶ τὴν χρόνον ἐπισημειώσασθαι τοῦ κηρύγματος Παύλου, ἐκ τῶν χρονικῶν κανόνων Εὐσεβίου τοῦ Παμφίλου τὴν ἀνακεφαλαίωσιν ποιούμενος. οὗ δὴ τὴν βίβλον μετὰ χεῖρας εἰληφὼς, καὶ ταύτην ἀναπτύξας, εὑρίσκω τὸ πάθος τοῦ σωτῆρος ἡμῶν καὶ κυρίου Ἰησοῦ Χριστοῦ ἐν ὀκτωκαιδεκάτῳ ἔτει Τιβερίου Καίσαρος γεγενημένον, καὶ τὴν τριήμερον δὲ εὐθὺς ἀνάστασιν, καὶ πάλιν τὴν εἰς οὐρανοὺς ἀνάληψιν τοῦ Χριστοῦ. καὶ μεθ' ἡμέρας τινὰς ὀλίγας εἶδον ἐκεῖ τοὺς ἀποστόλους προχειριζομένους εἰς διακονίαν τὴν αὐτοφερώνυμον Στέφανον, καὶ τοὺς ἀμφ' αὐτόν. καὶ μετέπειτα στάσιν Ἰουδαίων πλείστην καταλαμβάνω, καὶ τὸν Στέφανον ἀγωνιζόμενον ἐκεῖσε, καὶ τὴν Παῦλον συνευδοκοῦντα πάνυ τῷ φόνῳ, ὃς μικρὸν ὕστερον τοῖς ἄρχουσι τῶν Ἰουδαίων παραστὰς, ἐπιστολὰς ἐκομίζετο πρὸς τοὺς ἐν Δαμασκῷ Ἰουδαίους κατὰ τῶν μαθητῶν. κατὰ μέσην δὲ τὴν ὁδὸν ἡ κλῆσις αὐτῷ γεγένηται παρὰ τοῦ Θεοῦ, ὡς μικρῷ προσαναλωθῆναι τὸ ἔτος ἐκεῖνο. ἐπιλαβομένου δῆτα τοῦ ἐννεακαιδεκάτου ἔτους Τιβερίου Καίσαρος, κατάρξασθαι τὴν Παῦλον τοῦ κηρύγματός φησιν ἡ ἱστορία, καὶ τὴν ἅπασαν οἰκουμένην διαδραμεῖν εὐαγγελιζόμενον τὴν εἰς Χριστὸν εὐσέβειαν, μέχρι τρισκαιδεκάτου ἔτους Κλαυδίου Καίσαρος, ἡγεμονεύοντος τότε τῆς Ἰουδαίας Φήλικος. ἐφ' οὗ κατηγορηθεὶς ὑπὸ Ἰουδαίων, τὴν ἀπολογίαν ἐποιήσατο Παῦλος, ὃς δὴ τὴν ἀπόστολον εἰς τὸ κατὰ Καισάρειαν δεσμωτήριον καθεῖρξεν ἐπὶ δυσὶν ἔτεσι. μεθ' ὃν διαδεξάμενος τὴν ἀρχὴν Πόρκιος Φῆστος, εὐθὺς ἀνακρίνειν ὥρμησε τὴν ἀπόστολον, τοῖς Ἰουδαίοις ἐν τούτῳ μεγίστην χάριν κατατιθέμενος. τότε οὖν ὁ μακάριος νομίσας οὐκ ἄλλως ἀπαλλαγήσεσθαι τῆς ἐπιβουλῆς, ἢ Καίσαρα ἐπικαλεσάμενος, ἑστὼς ἐπὶ τοῦ βήματος, ἐπεκαλεῖτο Καίσαρα. καὶ εἰς Ῥώμην ἐκπέμπεται πρὸς Νέρωνα τὴν Καίσαρα. συνῆν δὲ αὐτῷ καὶ Ἀρίσταρχος, ὃν καὶ εἰκότως συναιχμάλωτόν που τῶν ἐπιστολῶν ἀποκαλεῖ καὶ Λουκᾶς, ὁ τὰς πράξεις τῶν ἀποστόλων γραφῇ παραδούς. κἀκεῖσε οὖν ἐπὶ τῆς Ῥώμης ὁ Παῦλος διετίαν ὅλην αὖθις ἐφυλάττετο. ταῦτα γὰρ καὶ μέχρι τούτων ἱστορεῖ Λουκᾶς ἐν τῷ πράξεσι τῶν ἀποστόλων, κατ' ἐκεῖνο καιροῦ τὸ βιβλίον συγγραψάμενος· καὶ τὰ καθεξῆς ἤκιστα τότε γινώσκων, οὐδὲ τὸ μαρτύριον αὐτοῦ ἐγκατέθετο τῇ βίβλῳ. καταλιπόντες γὰρ αὐτὸν ἐκεῖσε Λουκᾶς τε καὶ Ἀρίσταρχος ἐξῆλθον. Εὐσέβιος δὲ τοὺς μετέπειτα χρόνους ἀκριβῶς περιεργασάμενος, ἱστόρησεν ἡμῖν ἐν τῷ δευτέρῳ τόμῳ τῆς ἐκκλησιαστικῆς ἱστορίας τούτου καὶ τὸ μαρτύριον· καί φησι τὴν Παῦλον ἄνετον διατρίψαι, καὶ τὴν τοῦ Θεοῦ λόγον ἀκωλύτως κηρύξαι, ἐπισημηνάμενος ὅτι τότε μὲν ἐπὶ Νέρωνος ἀπολογησάμενον τὸν Παῦλον, αὖθις ἐπὶ τὴν τοῦ κηρύγματος διακονίαν λόγος ἔχει στείλασθαι, ὑπὸ Καίσαρος ἀπολυθέντα, καὶ εὐαγγελίσασθαι ἐφ' ἑτέροις δέκα ἔτεσιν. [* ἐν τούτοις τοῖς ἔτεσι λέγεται ἀποδημῆσαι εἴς τε Ἱσπανίαν τῆς Γαλλίας καὶ Ἰταλίας στείλασθαι τὸν τοῦ Χριστοῦ κήρυκα, καὶ κατασπεῖραι τὸν λόγον, καὶ πολλοὺς τῶν πατρίων ἀποσπάσαι θεῶν, καὶ τῇ ποίμνῃ τοῦ κυρίου ἐπισυνάψαι. ὅτι δὲ ἐν Ἱσπανίᾳ γέγονε κηρύσσων ὅδε Παῦλος, ἐν τῇ πρὸς Ῥωμαίους Ἐπιστολῇ τοῦτο διαγορεύει, γράφων ὡδί. Νυνὶ δὲ μηκέτι τόπον ἔχων ἐν τοῖς κλίμασι τούτοις, ἐπιποθίαν δὲ ἔχων τοῦ ἐλθεῖν πρὸς ὑμᾶς ἀπὸ πολλῶν ἐτῶν, ὡς ἐὰν πορεύωμαι εἰς Ἱσπανίαν ἐλεύσομαι πρὸς ὑμᾶς· ἐλπίζω γὰρ διαπορευόμενος θεάσασθαι ὑμᾶς. ἐπεὶ οὖν δὲ πρὸ τοῦ ἐν Ῥώμῃ γενέσθαι μελέτην εἶχεν εἰς Ἱσπανίαν κηρύξαι, εὐοδωθὲν αὐτῷ πρὸς τὴν πρώτην καταντῆσαι τῶν πόλεων, οὐκ ἠμέλησε τῶν προδεδογμένων. εἰ καὶ πάλιν ἀνακάμψας εἰς Ῥώμην,

* *Oecumenius* MS. in Bibliotheca Coll. Magd.

* *Laua.* 2.